| Matt 27:1-31 | Luke 23:1-25 |
|---|---|
| *Πρωΐας δὲ γενομένης* | |
| *συμβούλιον ἔλαβον* | |
| *πάντες οἱ ἀρχιερεῖς* | |
| *καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ* | |
| | *Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν* |
| *κατὰ τοῦ Ἰησοῦ* | |
| *ὥστε θανατῶσαι αὐτόν·* | |
| *2 καὶ δήσαντες αὐτὸν ἀπήγαγον* | |
| *καὶ παρέδωκαν* | *ἤγαγον αὐτὸν* |
| *Πιλάτῳ τῷ ἡγεμόνι.* | *ἐπὶ τὸν Πιλᾶτον.* |
| *3 Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς*<br>*αὐτὸν ὅτι κατεκρίθη μεταμεληθεὶς*<br>*ἔστρεψεν τὰ τριάκοντα ἀργύρια*<br>*τοῖς ἀρχιερεῦσιν καὶ πρεσβυτέροις*<br>*4 λέγων, Ἥμαρτον παραδοὺς αἷμα*<br>*ἀθῷον. οἱ δὲ εἶπαν, Τί πρὸς ἡμᾶς*<br>*σὺ ὄψῃ. 5 καὶ ῥίψας τὰ ἀργύρια εἰς*<br>*τὸν ναὸν ἀνεχώρησεν, καὶ ἀπελθὼν*<br>*ἀπήγξατο. 6 οἱ δὲ ἀρχιερεῖς*<br>*λαβόντες τὰ ἀργύρια εἶπαν, Οὐκ*<br>*ἔξεστιν βαλεῖν αὐτὰ εἰς τὸν*<br>*κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστιν.*<br>*7 συμβούλιον δὲ λαβόντες*<br>*ἠγόρασαν ἐξ αὐτῶν τὸν Ἀγρὸν τοῦ*<br>*Κεραμέως εἰς ταφὴν τοῖς ξένοις. 8*<br>*διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος Ἀγρὸς*<br>*Αἵματος ἕως τῆς σήμερον. 9 τότε*<br>*ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἰερεμίου*<br>*τοῦ προφήτου λέγοντος, Καὶ ἔλαβον*<br>*τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν*<br>*τοῦ τετιμημένου ὃν ἐτιμήσαντο*<br>*ἀπὸ υἱῶν Ἰσραήλ, 10 καὶ ἔδωκαν*<br>*αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως,*<br>*καθὰ συνέταξέν μοι κύριος.* | |
| *11 Ὁ δὲ Ἰησοῦς ἐστάθη ἔμπροσθεν τοῦ ἡγεμόνος·* | |
| | *2 ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες, Τοῦτον εὕραμεν διαστρέφοντα τὸ ἔθνος ἡμῶν καὶ κωλύοντα φόρους Καίσαρι διδόναι καὶ λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι.* |
| *καὶ ἐπηρώτησεν αὐτὸν* | |
| *ὁ ἡγεμὼν* | *3 ὁ δὲ Πιλᾶτος* |
| | *ἠρώτησεν αὐτὸν* |
| *λέγων,* | *λέγων,* |

*<u>Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων</u>*

*ὁ <u>δὲ</u> Ἰησοῦς <u>ἔφη</u>,*

*<u>Σὺ λέγεις</u>.*

*12 καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν*

*ὑπὸ τῶν ἀρχιερέων*

*καὶ πρεσβυτέρων*

*οὐδὲν ἀπεκρίνατο.*

*13 τότε λέγει αὐτῷ ὁ Πιλᾶτος,*

*Οὐκ ἀκούεις*

*πόσα σου καταμαρτυροῦσιν*

*14 καὶ*

*οὐκ ἀπεκρίθη αὐτῷ*

*πρὸς οὐδὲ ἓν ῥῆμα,*

*ὥστε θαυμάζειν*

*τὸν ἡγεμόνα λίαν.*

*<u>Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων</u>*

*ὁ <u>δὲ</u> ἀποκριθεὶς αὐτῷ <u>ἔφη</u>,*

*<u>Σὺ λέγεις</u>.*

*4 ὁ δὲ Πιλᾶτος εἶπεν πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους, Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. 5 οἱ δὲ ἐπίσχυον λέγοντες ὅτι Ἀνασείει τὸν λαὸν διδάσκων καθ ὅλης τῆς Ἰουδαίας, καὶ ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε. 6 Πιλᾶτος δὲ ἀκούσας ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστιν· 7 καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρῴδου ἐστὶν ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις. 8 ὁ δὲ Ἡρῴδης ἰδὼν τὸν Ἰησοῦν ἐχάρη λίαν, ἦν γὰρ ἐξ ἱκανῶν χρόνων θέλων ἰδεῖν αὐτὸν διὰ τὸ ἀκούειν περὶ αὐτοῦ, καὶ ἤλπιζέν τι σημεῖον ἰδεῖν ὑπ αὐτοῦ γινόμενον. 9 ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. 10 εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ. 11 ἐξουθενήσας δὲ αὐτὸν καὶ ὁ Ἡρῴδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ καὶ ἐμπαίξας περιβαλὼν ἐσθῆτα λαμπρὰν ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. 12 ἐγένοντο δὲ φίλοι ὅ τε Ἡρῴδης καὶ ὁ Πιλᾶτος ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς αὐτούς.*

| | |
|---|---|
| | 13 Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς<br>ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ<br>τὸν λαὸν 14 εἶπεν πρὸς αὐτούς,<br>Προσηνέγκατέ μοι τὸν ἄνθρωπον<br>τοῦτον ὡς ἀποστρέφοντα τὸν λαόν,<br>καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν<br>ἀνακρίνας οὐθὲν εὗρον ἐν τῷ<br>ἀνθρώπῳ τούτῳ αἴτιον ὧν<br>κατηγορεῖτε κατ αὐτοῦ, 15 ἀλλ<br>οὐδὲ Ἡρῴδης· ἀνέπεμψεν γὰρ<br>αὐτὸν πρὸς ἡμᾶς· καὶ ἰδοὺ οὐδὲν<br>ἄξιον θανάτου ἐστὶν πεπραγμένον<br>αὐτῷ. 16 παιδεύσας οὖν αὐτὸν<br>ἀπολύσω. |
| 15 Κατὰ δὲ ἑορτὴν | |
| εἰώθει ὁ ἡγεμὼν ἀπολύειν | |
| ἕνα τῷ ὄχλῳ δέσμιον ὃν ἤθελον. | |
| 16 εἶχον δὲ τότε δέσμιον ἐπίσημον | |
| λεγόμενον Ἰησοῦν Βαραββᾶν. | |
| 17 συνηγμένων οὖν αὐτῶν | |
| εἶπεν αὐτοῖς ὁ Πιλᾶτος, | |
| Τίνα θέλετε ἀπολύσω ὑμῖν, | |
| Ἰησοῦν τὸν Βαραββᾶν ἢ Ἰησοῦν | |
| τὸν λεγόμενον Χριστόν | |
| 18 ᾔδει γὰρ ὅτι | |
| διὰ φθόνον παρέδωκαν αὐτόν. | |
| 19 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ<br>βήματος ἀπέστειλεν πρὸς αὐτὸν ἡ<br>γυνὴ αὐτοῦ λέγουσα, Μηδὲν σοὶ<br>καὶ τῷ δικαίῳ ἐκείνῳ, πολλὰ γὰρ<br>ἔπαθον σήμερον κατ ὄναρ δι<br>αὐτόν. | |
| 20 Οἱ δὲ ἀρχιερεῖς | |
| καὶ οἱ πρεσβύτεροι | |
| ἔπεισαν τοὺς ὄχλους | 18 ἀνέκραγον δὲ παμπληθεὶ |
| | λέγοντες, Αἶρε τοῦτον, |
| ἵνα αἰτήσωνται τὸν Βαραββᾶν | ἀπόλυσον δὲ ἡμῖν τὸν Βαραββᾶν· |
| τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. | |
| | 19 ὅστις ἦν διὰ στάσιν τινὰ<br>γενομένην ἐν τῇ πόλει καὶ φόνον<br>βληθεὶς ἐν τῇ φυλακῇ. |
| 21 ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν | 20 πάλιν δὲ ὁ Πιλᾶτος |
| εἶπεν αὐτοῖς, | προσεφώνησεν αὐτοῖς, |
| Τίνα θέλετε ἀπὸ τῶν δύο | θέλων ἀπολῦσαι τὸν Ἰησοῦν· |
| ἀπολύσω ὑμῖν | |

| | |
|---|---|
| οἱ δὲ εἶπαν, Τὸν Βαραββᾶν. | |
| 22 λέγει αὐτοῖς ὁ Πιλᾶτος, | |
| Τί οὖν ποιήσω Ἰησοῦν | |
| τὸν λεγόμενον Χριστόν | |
| λέγουσιν πάντες, | 21 οἱ δὲ ἐπεφώνουν λέγοντες, |
| Σταυρωθήτω. | Σταύρου, σταύρου αὐτόν. |
| 23 ὁ δὲ ἔφη, | 22 ὁ δὲ τρίτον εἶπεν |
| | πρὸς αὐτούς, |
| Τί γὰρ κακὸν ἐποίησεν | Τί γὰρ κακὸν ἐποίησεν οὗτος |
| | οὐδὲν αἴτιον θανάτου εὗρον |
| | ἐν αὐτῷ· |
| | παιδεύσας οὖν αὐτὸν ἀπολύσω. |
| οἱ δὲ περισσῶς ἔκραζον λέγοντες, | 23 οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις αἰτούμενοι |
| Σταυρωθήτω. | αὐτὸν σταυρωθῆναι, |
| 24 ἰδὼν δὲ ὁ Πιλᾶτος | |
| ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων, Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τούτου· ὑμεῖς ὄψεσθε. 25 καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν, Τὸ αἷμα αὐτοῦ ἐφ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. | |
| | καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν. |
| 26 τότε | 24 καὶ Πιλᾶτος ἐπέκρινεν |
| | γενέσθαι τὸ αἴτημα αὐτῶν· |
| ἀπέλυσεν αὐτοῖς | 25 ἀπέλυσεν δὲ |
| τὸν Βαραββᾶν, | τὸν διὰ στάσιν καὶ φόνον |
| | βεβλημένον εἰς φυλακὴν ὃν ᾐτοῦντο, |
| τὸν δὲ Ἰησοῦν φραγελλώσας | τὸν δὲ Ἰησοῦν |
| παρέδωκεν | παρέδωκεν |
| ἵνα σταυρωθῇ. | τῷ θελήματι αὐτῶν. |
| 27 Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος | |
| παραλαβόντες τὸν Ἰησοῦν | |
| εἰς τὸ | |
| πραιτώριον | |
| συνήγαγον ἐπ αὐτὸν | |
| ὅλην τὴν σπεῖραν. | |

*28 καὶ ἐκδύσαντες αὐτὸν*

*χλαμύδα κοκκίνην*

*περιέθηκαν αὐτῷ,*

*29 καὶ πλέξαντες*

*στέφανον ἐξ ἀκανθῶν*

*ἐπέθηκαν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ*

*καὶ κάλαμον ἐν τῇ δεξιᾷ αὐτοῦ,*

*καὶ γονυπετήσαντες*

*ἔμπροσθεν αὐτοῦ*

*ἐνέπαιξαν αὐτῷ λέγοντες,*

*Χαῖρε, βασιλεῦ τῶν Ἰουδαίων,*

*30 καὶ ἐμπτύσαντες εἰς αὐτὸν*

*ἔλαβον τὸν κάλαμον*

*καὶ ἔτυπτον*

*εἰς τὴν κεφαλὴν αὐτοῦ.*

*31 καὶ ὅτε ἐνέπαιξαν αὐτῷ,*

*ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα*

*καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ,*

*καὶ ἀπήγαγον αὐτὸν*

*εἰς τὸ σταυρῶσαι.*

852 total words with 58 identicals = 7%